πίας παρασκευὴ καὶ χάριτος· φοβερόν ἐστι τὸ κρυπτόμενον, σκυθρωπὸν ἀγέλαστον δυσπρόσιτον, ὀργῆς τινος ὑπούλου θησαυρὸς ἢ τιμωρίας βαρυθύμου σκέψις ἢ ζηλοτυπία γυναικὸς ἢ πρὸς υἱὸν ὑποψία τις ἢ πρὸς φίλον ἀπιστία. φεῦγε τὸ μελαῖνον τοῦτο καὶ συνιστάμενον νέφος· οὐ λήσεταί σε βροντῆσαν οὐδ' ἀστράψαν, ὅταν ἐκραγῇ τὸ νῦν κρυπτόμενον.

5. Τίς οὖν ἡ φυγή; περισπασμός, ὡς εἴρηται (p. 515 d),
καὶ μεθολκὴ τῆς πολυπραγμοσύνης μάλιστα μὲν ἐπὶ τὰ
βελτίω καὶ τὰ ἡδίω τρέψαντι τὴν ψυχήν. τὰ ἐν οὐρανῷ
πολυπραγμόνει, τὰ ἐν γῇ τὰ ἐν ἀέρι τὰ ἐν θαλάττη. μικρῶν
πέφυκας ἢ μεγάλων φιλοθεάμων; εἰ μεγάλων, ἥλιον πολυ- D
πραγμόνει ποῦ κάτεισι καὶ πόθεν ἄνεισι· ζήτει τὰς ἐν
σελήνη καθάπερ ἀνθρώπῳ μεταβολάς, ποῦ τοσοῦτον καταν-
ήλωσε φῶς πόθεν αὖθις ἐκτήσατο, πῶς (Soph. fr. 787)

'ἐξ ἀδήλου πρῶτον ἔρχεται νέα
πρόσωπα καλλύνουσα καὶ πληρουμένη,
χὤταν περ αὑτῆς εὐγενεστάτη φανῇ,
πάλιν διαρρεῖ κἀπὶ μηδὲν ἔρχεται.'

καὶ ταῦτ' ἀπόρρητ' ἐστὶ φύσεως, ἀλλ' οὐκ ἄχθεται τοῖς
ἐλέγχουσιν. ἀλλὰ τῶν μεγάλων ἀπέγνωκας; πολυπραγμό-
νει τὰ μικρότερα, πῶς τῶν φυτῶν τὰ μὲν ἀεὶ τέθηλε καὶ
χλοάζει καὶ ἀγάλλεται παντὶ καιρῷ τὸν ἑαυτῶν ἐπιδεικνύ-
μενα πλοῦτον, τὰ δὲ νῦν μέν ἐστιν ὅμοια τούτοις νῦν δ' E